διαστήματι κύκλον γράφεσθαι. δ. καὶ πάσας τὰς ὀρθὰς
γωνίας ἴσας ἀλλήλαις εἶναι. ε. καὶ ἐὰν εἰς δύο εὐθείας εὐθεῖα
ἐμπίπτουσα τὰς ἐντὸς καὶ ἐπὶ τὰ αὐτὰ μέρη γωνίας δύο ὀρθῶν
ἐλάσσονας ποιῇ, ἐκβαλλομένας τὰς δύο εὐθείας ἐπ' ἄπειρον συ-
μπίπτειν ἐφ' ἃ μέρη εἰσὶν αἱ τῶν δύο ὀρθῶν ἐλάσσονες γωνίαι.
Κοιναὶ ἔννοιαι. α. τὰ τῷ αὐτῷ ἴσα καὶ ἀλλήλοις ἐστὶν ἴσα.

Καὶ ἐὰν ἴσοις ἴσα προστεθῇ, τὰ ὅλα ἐστὶν ἴσα. Καὶ ἐὰν
ἀπὸ ἴσων ἴσα ἀφαιρεθῇ, τὰ καταλειπόμενά ἐστιν ἴσα. Καὶ
ἐὰν ἀνίσοις ἴσα προστεθῇ, τὰ ὅλα ἐστὶν ἄνισα. Καὶ τὰ τοῦ
αὐτοῦ διπλάσια ἴσα ἀλλήλοις ἐστί. καὶ τὰ τοῦ αὐτοῦ ἡμίση
ἴσα ἀλλήλοις ἐστί. Καὶ τὰ ἐφαρμόζοντα ἐπ' ἄλληλα
ἴσα ἀλλήλοις ἐστί. καὶ τὸ ὅλον τοῦ μέρους μεῖζόν ἐστι. καὶ δύο εὐ-
θεῖαι χωρίον οὐ περιέχουσιν. Ἐπὶ τῆς δοθείσης εὐθείας
πεπερασμένης τρίγωνον ἰσόπλευρον συστήσασθαι. ἔστω ἡ
δοθεῖσα εὐθεῖα πεπερασμένη ἡ αβ. δεῖ δὴ ἐπὶ τῆς αβ τρίγωνον
ἰσόπλευρον συστήσασθαι. κέντρῳ μὲν τῷ α, διαστήματι
δὲ τῷ αβ κύκλος γεγράφθω ὁ βγδ. καὶ πάλιν κέντρῳ
μὲν τῷ β, διαστήματι δὲ τῷ βα κύκλος γεγράφθω

ὁ αγε. καὶ ἀπὸ τοῦ γ σημείου καθ' ὃ τέμνουσιν ἀλλήλους οἱ
κύκλοι, ἐπὶ τὰ α β σημεῖα ἐπεζεύχθωσαν εὐθεῖαι αἱ γα, γβ.
καὶ ἐπεὶ τὸ α σημεῖον κέντρον ἐστὶ τοῦ γδβ κύκλου, ἴση ἐστὶν ἡ αγ
τῇ αβ. πάλιν ἐπεὶ τὸ β σημεῖον κέντρον ἐστὶ τοῦ γαε κύκλου,
ἴση ἐστὶν ἡ βγ τῇ βα. ἐδείχθη δὲ καὶ ἡ γα τῇ αβ ἴση. ἑκα-
τέρα ἄρα τῶν γα, γβ τῇ αβ ἐστὶν ἴση. τὰ δὲ τῷ αὐτῷ ἴ-
σα, καὶ ἀλλήλοις ἐστὶν ἴσα. καὶ ἡ γα ἄρα τῇ γβ ἐστὶν ἴση. αἱ τρεῖς
ἄρα αἱ γα αβ βγ ἴσαι ἀλλήλαις εἰσίν.
ἰσόπλευρον ἄρα ἐστὶ τὸ αβγ τρίγωνον.
καὶ συνέσταται ἐπὶ τῆς δοθείσης εὐθείας πεπερασμέ-
νης τῆς αβ. ὅπερ ἔδει ποιῆσαι.



Πρὸς τῷ δοθέντι σημείῳ τῇ δοθείσῃ εὐθείᾳ ἴσην εὐθεῖαν θέσθαι.
ἔστω τὸ μὲν δοθὲν σημεῖον, τὸ α. ἡ δὲ δοθεῖσα εὐθεῖα, ἡ βγ. δεῖ δὴ
πρὸς τῷ α σημείῳ τῇ βγ ἴσην εὐθεῖαν θέσθαι. ἐπεζεύχθω
ἀπὸ τοῦ α σημείου ἐπὶ τὸ β σημεῖον εὐθεῖα ἡ αβ. καὶ συνε-
στάτω ἐπ' αὐτῆς τρίγωνον ἰσόπλευρον τὸ δαβ. καὶ ἐκβε-
βλήσθωσαν ἐπ' εὐθείας ταῖς δα, δβ εὐθεῖαι αἱ αε
βζ. καὶ κέντρῳ μὲν τῷ β διαστήματι δὲ τῷ βγ κύκλος

BIBLIOTHECA · BODLEIANA

EUCLID *Elementa* BYZANTINE, 888 THE BODLEIAN LIBRARY Octavo